# THE OLD TESTAMENT

## IN GREEK

### ACCORDING TO THE SEPTUAGINT

LIB... OF THE UNIVERSITY OF VA

*EDITED FOR THE*
*SYNDICS OF THE UNIVERSITY PRESS*

BY

HENRY BARCLAY SWETE D.D.
HON. LITT. D. DUBLIN
FELLOW OF GONVILLE AND CAIUS COLLEGE
REGIUS PROFESSOR OF DIVINITY

VOL. III.

*HOSEA—4 MACCABEES*

CAMBRIDGE
AT THE UNIVERSITY PRESS
1894

*All rights reserved*

Digitized by Google

# ΙΩΝΑΣ

B ΚΑΙ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθεὶ λέγων, 1 I
2 Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ 2
κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρὸς μέ. 3 καὶ 3
ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου, καὶ
κατέβη εἰς Ἰόππην· καὶ εὗρεν πλοῖον βαδίζον εἰς Θαρσείς, καὶ ἔδωκεν
τὸ ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεὶς
ἐκ προσώπου Κυρίου. 4 Καὶ Κύριος ἐξήγειρεν πνεῦμα ἐπὶ τὴν 4
θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον
ἐκινδύνευεν συντριβῆναι. 5 καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόησαν 5
ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν
τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν·
Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδεν καὶ ἔρεγχεν.
6 καὶ προσῆλθεν πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ Τί σὺ ῥέγχεις; 6
ἀνάστα καὶ ἐπικαλοῦ τὸν θεόν σου, ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς καὶ
μὴ ἀπολώμεθα. 7 καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Δεῦτε 7
βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν
ἡμῖν. καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. 8 καὶ 8

ℵAQ Inscr Ιωνας ς BℵAQ I 1 Αμαθι AQ 2 πορευθητι B$^{ab}$ (-ρευθυτητι B*)] πορευου A | Νινευη] pr την A | κραυη ℵ* (-γη ℵ$^{c.a}$) 3 φυγειν] υγ rescr ℵ$^{1}$ (φοιν ℵ*$^{vid}$) | εκ 1°] απο ℵA | Ιοππην] Ιππην ℵ* (Ιοππ. ℵ$^{c.a}$) | om και εδωκεν...εις Θαρσεις (3°) ℵ* (hab ℵ$^{c.a}$) | μετ αυτων εις Θαρσεις] εις Θ. μετ αυτων A | Θαρσις (3°) ℵ$^{c.a}$ 4 επι] εις ℵ$^{c.a,\,c.b}$AQ | εκινδυνευσεν] εκινδυνευε Q$^{a}$ | συντριβηναι] του διαλυθηναι ℵ$^{c.b}$ (postea συντρ.) A 5 ανεβοησαν] εβοων A ανεβοων ℵ$^{c.b}$Q | αυτου] αυτων AQ* (-των Q$^{a}$) | ερεγκε Q$^{a}$ 6 πρωρευς] οι γ' κυβερνητης Q$^{mg}$ | αυτω] προς αυτον A | ρεγχεις (ρεγκ. Q$^{a}$)] ρεγχει ℵ* (-γχεις ℵ$^{c.a,\,c.b}$) | αναστα] αναστηθι ℵ$^{c.b}$Q$^{a}$ | om και 3° Q | οπως] ειπως AQ$^{a}$ (επως Q*) | διασωσει Q*$^{vid}$ | ημας] pr η ℵ | μη] pr ου ℵ$^{c.a}$AQ$^{a}$ 7 ειπεν] ειπαν Q | επιγνωμεν] επιγνωσομεν ℵ* (-γνωμεν ℵ$^{c.a,\,c.b}$) | αυτη εστιν] η ε rescr ℵ$^{1}$ | εν ημιν] εφ ημας Q



Digitized by Google

εἶπον πρὸς αὐτόν Ἀπάγγειλον ἡμῖν τίς σου ἡ ἐργασία ἐστίν, καὶ B
9 πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; [9]καὶ εἶπεν
πρὸς αὐτούς Δοῦλος Κυρίου ἐγώ εἰμι, καὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ
10 ἐγὼ σέβομαι, ὃς ἐποίησεν τὴν θάλασσαν καὶ τὴν ξηράν. [10]καὶ ἐφο-
βήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπαν πρὸς αὐτόν Τί τοῦτο ἐποί-
ησας; διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων,
11 ὅτι ἀπήγγειλεν αὐτοῖς. [11]καὶ εἶπαν πρὸς αὐτόν Τί σοι ποιήσομεν, καὶ
κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρεν
12 μᾶλλον κλύδωνα. [12]καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς Ἄρατέ με καὶ
ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν·
διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστίν.
13 [13]καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ ἠ-
δύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς.
14 [14]καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπαν Μηδαμῶς, Κύριε· μὴ ἀπολώ-
μεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς
15 αἷμα δίκαιον, διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας. [15]καὶ
ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ
16 θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. [16]καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ
μεγάλῳ τὸν κύριον, καὶ ἔθυσαν θυσίας τῷ κυρίῳ καὶ εὔξαντο εὐχάς.
II 1 [1]Καὶ προσέταξεν Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ
ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.
2 [2]καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας
3 τοῦ κήτους, [3]καὶ εἶπεν

**8** ειπον] ειπαν ℵAQ | απαγγειλον] + δη Q$^{mg}$ | ημιν] + τινος ενεκεν η κακια ℵAQ αυτη εστιν εν ημιν AQ | ερχη] + ϗ που πορευει ℵ$^{c.b}$ + και που πορευη Q$^{mg}$ | ει συ] συ ει Q **9** ειμι εγω ℵ* (εγω ειμι ℵ$^{c}$ mox ειμι εγω revoc) | τον κυριον θεον] κ̅ν̅ τον θ̅ν̅ Q | σεβομαι] φοβουμαι ℵ$^{c.b}$ **10** φοβω μεγαλω ℵ$^{c.b (vid)}$ (mox φοβον μεγαν revoc) | φευων ℵ* (φευγων ℵ$^{c.a}$) **11** ποιησωμεν ℵA | επορυετο ℵ$^{c.b}$ επωρυετο AQ*: item 13 **12** αυτους] αυτο Q$^{a\ vid}$ | εμβαλετε] ενβαλατε ℵ | om με 2° AQ$^{a}$ | οτι] διοτι ℵ* (οτι ℵ$^{c.b}$) | κλυδων] γ pro κ incep ℵ* (κλ. ℵ$^{1}$) **13** καιπερ εβιαζοντο B$^{*\ vid}$ (και παρεβιαζ. B$^{ab}$) | προς] θ'σ' εις Q$^{mg}$ | εδυναντο A | εηγειρετο ℵ* (εξηγ. ℵ$^{1\ c.a}$) **14** προς Κυριον και ειπαν μηδαμως sup ras et in mg A$^{a}$ | Κυριον] pr τον ℵ* (om τον ℵ$^{c.b}$) | om μη απολωμεθα...συ Κυριε ℵ* (hab ℵ$^{c.a}$) | απολοιμεθα ℵ$^{c.a}$ (απολωμ. ℵ$^{c.b}$) Q | διοτι] οτι AQ* (διοτι Q$^{mg}$) | συ] σου ℵ$^{c.a}$ | βεβουλου ℵ* (εβ. ℵ$^{?}$) **15** εξεβαλον] εβαλον ℵ$^{*\ c.b}$ ενεβαλον ℵ$^{c.a}$A | σαλους AQ* (-λου Q$^{a}$) **16** εφοβηθησαν] incep ερ ℵ* | θυσιαν AQ* (-ας Q$^{a}$) | om κυριω ℵ* (superscr κ̅ω̅ ℵ$^{1}$) | ηυξαντο ℵ$^{1}$ (ηξ. ℵ*) AQ **II 1** κητει] τητει ℵ* (κητι ℵ$^{c.a,\ c.b}$) | καταπιειν] και κατεπιεν ℵ* (καταπ. ℵ$^{c.a,\ c.b}$) | τον Ιωναν] om τον ℵ$^{?}$ **2** τον θεον] om τον ℵ$^{c.a}$ (rurs ras) Q **2—3** om αυτου εκ της κοιλιας...Κυριον τον θεον (2°) ℵ* (hab ℵ$^{1\ c.a\ (vid),\ c.b}$) **2** τον θεον] om τον Q **3** ειπεν] + ως Q$^{mg}$



Digitized by Google

B 'Εβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν θεόν μου, καὶ εἰσή-
κουσέν μου.
ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου·
4 ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, 4
καὶ ποταμοί με ἐκύκλωσαν,
πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ
διῆλθον.
5 καὶ ἐγὼ εἶπα 'Απῶσμαι ἐξ ὀφθαλμῶν σου· 5
ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς τὸν λαὸν τὸν ἅγιόν
σου;
6 περιεχύθη ὕδωρ μοι ἕως ψυχῆς, 6
ἄβυσσος ἐκύκλωσέν με ἐσχάτη,
ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων,
7 κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι· 7
καὶ ἀναβήτω φθορὰ ζωῆς μου, Κύριε ὁ θεός μου,
8 ἐν τῷ ἐκλιπεῖν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου 8
ἐμνήσθην,
καὶ ἔλθοι πρὸς σὲ ἡ εὐχή μου εἰς ναὸν ἅγιόν σου.
9 φυλασσόμενοι μάταια καὶ ψευδῆ 9
ἔλεος αὐτῶν ἐγκατέλιπον.
10 ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, 10
ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίου τῷ κυρίῳ.
11 Καὶ προσετάγη τῷ κήτει, καὶ ἐξέβαλεν τὸν 'Ιωνᾶν ἐπὶ τὴν ξηράν. 11
1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς 'Ιωνᾶν ἐκ δευτέρου λέγων 1 III
2 'Ανάστηθι πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον 2
ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σέ.
3 καὶ ἀνέστη 'Ιωνᾶς καὶ ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησεν Κύριος· 3
ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ θεῷ, ὡσεὶ πορείας ὁδοῦ ἡμερῶν τριῶν.

ℵAQ **3** εβοησα] pr ωδη A | κραυης ℵ* (-γης ℵ$^{c.a}$) **4** απεριψας ℵQ* | με 1°] μες (sic) ℵ | om σου 2° Q* (hab Q$^{1 mg}$) **5** και εγω] καγω A | επιβλεψαι] επιστρεψε ℵ* (επιβλεψε ℵ$^{1}$ -ψαι ℵ$^{c.a, c.b}$) | τον λαον B$^{*b}$] τον ναον B$^{ab}$ ℵ ναον AQ **6** υδωρ μοι (μου ℵ* μοι ℵ$^{1}$)] μοι υδωρ AQ | ψυχης] + μου Q$^{a (mg) vid}$ | εισχισμας ℵ* (εις σχ. ℵ$^{c.b}$) **7** φθορα ζωης] εκ φθορας ζωης ℵ$^{c.c (vid)}$ εκ φθορας η ζωη AQ | Κυριε] pr προς σε ℵ$^{c.c (vid)}$ **8** εκλειπειν AQ | απ εμου την ψυχην μου] την ψ. μου απ εμου AQ | ευχη] προσευχη ℵ$^{c.b}$AQ **9** ελεον ℵ$^{c.a}$ (mox ελεος revoc) Q | εγκατελειπον AQ* (-λιπον Q$^{a}$) **10** αινεσως B* (-σεως B$^{ab}$) | και] ε pro κ incep B* | σοι σωτηριου] εις σωτηριον μου ℵ$^{c.a non c.b}$AQ | τω κυριω] pr ω ℵ* (om ω ℵ$^{1 c.a}$) pr τω ℵ$^{c.b}$ (per incur) **11** προσεταγη] + απο $\overline{κυ}$ ℵ$^{c.b}$ (postea ras) III **2** πορευθητι] pr και ℵ$^{c.a}$ (postea ras) AQ | Νινευην ℵ **3** καθως AQ* (καθα Q$^{a}$) | ποριας ℵA



Digitized by Google

4 [4] καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας B
μιᾶς, καὶ ἐκήρυξεν καὶ εἶπεν Ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστρα-
5 φήσεται. [5] καὶ ἐνεπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ θεῷ, καὶ ἐκήρυξαν
νηστίαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ
6 αὐτῶν. [6] καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευή· καὶ
ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλατο τὴν στολὴν αὐτοῦ
7 ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. [7] καὶ
ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν
μεγιστάνων αὐτοῦ λέγων Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ
τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ
8 πιέτωσαν. [8] καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη,
καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν,
9 λέγοντες [9] Τίς οἶδεν εἰ μετανοήσει ὁ θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς
10 θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; [10] καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα
αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν· καὶ
μετενόησεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησεν τοῦ ποιῆσαι αὐτοῖς, καὶ
IV 1 οὐκ ἐποίησεν. [1] Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνε-
2 χύθη· [2] καὶ προσεύξατο πρὸς Κύριον καὶ εἶπεν Ὦ Κύριε, οὐχ οὗτοι
οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα
τοῦ φυγεῖν εἰς Θαρσείς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων,
3 μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. [3] καὶ νῦν,
δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν
4 με ἢ ζῆν με. [4] καὶ εἶπεν Κύριος πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύπησαι
5 σύ; [5] καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς

4 εισελθειν] εισπορευεσθαι $\aleph^{c.b}$AQ | πορειαν (-ριαν ℵ)] ποριας AQ* (πορειαν ℵAQ $Q^{a}$) + οδου AQ | ημερας] μερας ℵ* (ημ. $\aleph^{1?c.a}$) | εκηρυξω ℵ* (-ξεν $\aleph^{1}$) | τρεις] οι λ' τεσσερακοντα $Q^{mg}$ 5 ενεπιστευσαν] επιστευσαν $\aleph^{c.a}$ | νηστειαν $B^{ab}$AQ | και 3°] αι ℵ* (και $\aleph^{c.a}$) | μικρου αυτων (om αυτ. AQ* hab $Q^{mg}$) εως μεγαλου αυτων $\aleph^{c.b}$ (postea μεγ. αυτ. εως μικρ. αυτ. revoc) AQ 6 λογος] λαος $\aleph^{c.b}$ (mox λογος revoc) | βασια ℵ* (βασιλεα $\aleph^{c.a}$) | Νινευης ℵ* (ς improb $\aleph^{c.a}$ postea ras) | περιειλετο $Q^{a\,(vid)}$ 7 ερρεθη (ερεθη ℵ*)] ερρηθη $B^{ab}Q^{a}$ | παρα των μεγιστανων αυτου] παντων μεγ. αυτω̅ $\aleph^{c.a,\,c.b}$ | γευεσθωσαν ℵ* (γευσασθ. $\aleph^{c.a,\,c.b}$) A | μηθεν A | νεμεσθωσαν] + μηδεν ℵ* (om μηδεν $\aleph^{c.b}$) | πινετωσαν ℵ 8 ανεστρεψαν $\aleph^{c.b}$Q* απεστρεψεν A α'θ' επεστρεψαν $Q^{mg}$ | πονηρας] πο sup ras seq ras pl litt $A^{a}$ 10 οιδε̅ $\aleph^{1?c.a}$ (οιδες $\aleph^{*\,vid}$) | μετανοιησει Q* (-νοησ. $Q^{a}$) | τη κακια η] τα κακα α A | αυτοις] αυτοι ℵ* (-τοις $\aleph^{c.a}$) IV 2 προσηυξατο $B^{b\ et\ fort\ c}$ℵAQ | ω] + (?) ωδη $\aleph^{c.b\ vid}$ ωδη certe $Q^{a}$ | μου 1°] + ους ελαλησα A | εγνων] + εγω $\aleph^{c.a}$ (mox improb) | συ] + θς̅ Q | οικτειρμων $\aleph^{c.b}$AQ* (-κτιρμ. $Q^{a}$) 3 η] ει Bℵ* (η $\aleph^{c.b}$) pr μαλλον $\aleph^{c.a}$ (μ. postea ras) | om με 2° $\aleph^{c.b}$AQ$^{*\,vid}$ (hab $Q^{mg}$) 4 σφοδρα] + συ ℵ* (improb $\aleph^{c.a}$ postea ras)

B πόλεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς
ἐν σκιᾷ, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. [6]καὶ προσέταξεν Κύριος 6
ὁ θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν
ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν
αὐτοῦ· καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. [7]καὶ 7
προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξεν τὴν
κολόκυνθαν, καὶ ἀπεξηράνθη. [8]καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν 8
ἥλιον καὶ προσέταξεν ὁ θεὸς πνεύματι καύσωνος συνκαίοντι, καὶ
ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ· καὶ ὠλιγοψύχησεν καὶ
ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπεν Καλόν μοι ἀποθανεῖν με ἢ
ζῆν. [9]καὶ εἶπεν ὁ θεὸς πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ 9
τῇ κολοκύνθῃ; καὶ εἶπεν Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. [10]καὶ 10
εἶπεν Κύριος Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακο-
πάθησας ἐπ᾽ αὐτήν, καὶ οὐκ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα
καὶ ὑπὸ νύκτα ἀπώλετο. [11]ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς 11
πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν πλείους δώδεκα μυριάδες
ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν,
καὶ κτήνη πολλά;

ℵAQ **5** εκει σκηνην εαυτω A | om ου Q | αφειδη A | τη πολει] pr εν ℵ **6** κολοκυνθη bis] κολοκυντη AQ* (-νθη Q$^{a}$) | του ειναι] om του AQ | σκιαν] pr εις ℵ$^{c.a}$ (mox ras) | αυτου 2°] αυτων ℵ* (-του ℵ$^{c.a, c.b}$) **7** ο θεος] ων ℵ* pr κ̅ς̅ AQ | σκωληκι] pr σ ℵ* (improb ℵ$^{1}$) | κολοκυνταν A **8** ο θεος] pr κ̅ς̅ AQ | συγκαιοντι B$^{b}$ | ολιγοψυχησεν ℵ | om μοι Q* (hab Q$^{mg}$) | αποθανειν] pr το ℵ$^{c.b}$AQ | om με ℵ | ζην]+με ℵ$^{c.a}$Q **9** ο θεος] pr κ̅ς̅ ℵ$^{c.b}$A | κολοκυντη AQ$^{a}$ **10** κολοκυντης AQ$^{a}$ | επ αυτην] επ αυτης ℵ* (επ αυτην ℵ$^{c.a (vid)}$) A εις αυτην ℵ$^{c.b}$Q$^{a}$ | και ουκ] ουδε ℵ$^{c.b}$ | υπο νυκτα εγενηθη AQ **11** om της μεγαλης A | κατοικουσιν]+εν αυτη Q$^{mg}$ | πλειους] πλιου ℵ* (πλιους ℵ$^{c.a}$)+η ℵ$^{c.a}$Q | η 2°] ουδε A

Subscr Ιωνας ϛ BℵQ Ιωνας προφητης ϛ A



Digitized by Google